www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

Bolzanio, Urbano

Venetiis, [Aug. 1496]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[B]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

τὰ τοὺς τεχνικοὺς, οἳ λέγουσιν ὡς διαλέκτοις τισὶν, ἀπο-
βάλλουσι τὸ ι τῆς αι διφθόγγου· οἷον, ἀθηναῖοι μὲν, τὸ κλαίειν, κλά-
ειν λέγουσιν· οὕτω δὲ καὶ τὸ καίειν, κάειν· αἰεὶ, ἀεὶ· αἰετὸς, ἀετός· αἰολεῖς δὲ, τὸ
παλαιὸς, καὶ ἀχαιὸς, καὶ ἑταῖρος, πάλαος, καὶ ἄχαος καὶ ἕταρος·
ἴωνες δὲ σὺν ἀττικοῖς· τὸ χρύσειος, ἀργύρεος, χάλκεος, καὶ τὰ ὅ-
μοια χρύσεος φασὶ καὶ ἀργύρεος, καὶ χάλκειος· ὡς δὲ οἱ αἰο-
λεῖς πολλάκις ἐν ταῖς διφθόγγοις οὐκ ἀποβάλλουσιν, ἀλλ' ἀρ-
κοῦνται μόνῃ διαστάσει· ὡς ἐν τῷ ἀτρείδης, ἀτρεΐος· ἐξ ὧν τὸ ἀ-
τρεΐδης· αἰγεΐδης ἀργεῖος· δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί.

Ἄωρτο, ὁ Ἡρωδιανὸς λέγει, ὅτι σημαίνει τὸ ἥρμοστο, τουτέστι περιέ-
κειτο ξίφους· καὶ γίνεται παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω· ὁ μέλλων αἰολικῶς,
ἄρσω· ὁ παρακείμενος, ἦρκα, ἦρμαι, ἥρμην, ἦρσο, ἦρτο· ἰωνικῶς,
ἄρτο· καὶ πλεονασμῷ τοῦ ω, ὡς εἴθα, εἴωθα, ἄωρτο· τινὲς δὲ λέ-
γουσι τὸ ἐκρέματο. γίνεται ἐκ τοῦ αἴρω, τὸ κουφίζω, καὶ κρεμῶ·
ὁ μέλλων, ἀρῶ· αἰολικῶς, ἄρσω· ἦρκα, ἦρμαι, ἥρμην, ἦρσο, ἦρτο· τρο-
πῇ τοῦ μακροῦ, εἰς μακρὸν, ὦρσο, καὶ πλεονασμῷ τοῦ α ἄωρ-
το ποιητικῶς.

Ἀωτεῖς, ἀντὶ τοῦ τὸ κάλλιστον τοῦ ὕπνου ἀπανθίζῃ καὶ συλλέγεις.

## ἈΡΧῊ ΤΟΥ͂ ·Β· ΣΤΟΙΧΕΊΟΥ·

β ΆΖΩ τὸ λέγω, ἢ παρὰ τὸ βῶ· καὶ ὥσπερ παρὰ τὸ
φῶ, φάζω, φάσω ὁ μέλλων· καὶ πλεονασμῷ τοῦ κ·
φάσκω· οὕτως καὶ παρὰ τὸ βῶ· βάζω· ἐκ δὲ τοῦ βά-
ζω, γίνεται βράζω· πλεονασμῷ τοῦ ρ δύναται
εἶναι· καὶ παρὰ τὸ βοῶ, βοάζω· καὶ κατὰ συγκοπὴν, βάζω.

Βαρύθω, ἀπὸ τοῦ βαρὺς, βαρύω, βαρύθω πλεονασμῷ τοῦ θ.

Βασκαίνει, ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται, καὶ συκοφαντεῖ·
οὕτως δημοσθένης ἐν τοῖς ὑπὲρ κτησιφῶντος· βάσκανον δὲ καὶ
πικρὸν καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα· ἀντὶ φιλαίτιον

ἢ συκοφαντικόν· παρὰ τὸ βάσκανος, βασκαίνω· ἢ παρὰ τὸ φασκαίνω· ὁ τοῖς φάεσι καίνων ὅ ἐστι φθείρων διὰ τῶν βλεμμάτων.

Βὰν ἐπορεύοντο· ἐκ τοῦ βῶ, τὸ βαίνω, παράγωγον, βῆμι· ὁ παρατατικὸς ἔβην, οἱ δὲ Ἴωνες συναιρουμένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἐνεστῶσι, καὶ ἔστι· βῆ· βάτον· βάτην· βάμεν· βάτε· βάσαν· καὶ συγκοπῇ· βάν.

Βάρδιστος, βράδιστος· παρὰ τὸ βάρος, βαρύς· γίνεται βραδὺς πλεονασμῷ τοῦ δ, καὶ ἐν ὑπερθέσει, βραδύς· εἶτα βραδίων· βράδιστος· καὶ ἐν ὑπερθέσει, βάρδιστος.

Βασκέμεν ῥῆμα ἀπαρέμφατον· ἢ οἱ Αἰολεῖς τὰ εἰς ειν ἀπαρέμφατα διὰ τῆς μεν προφέρουσι προσθέσει τοῦ μεν· οἷον, τύπτειν, τύπτεν, τυπτέμεν· βάσκειν, βάσκεν, βασκέμεν· ἢ ἑτέρως· γίνεται δὲ ἐκ τοῦ βάσκω· καὶ ἐπειδὴ τὰ ῥήματα τῆς β συζυγίας τῶν περισπωμένων διὰ τοῦ ασκω γίνεται· οἷον, γηρῶ, γηράσκω· ἡβῶ, ἡβάσκω· ἀλῶ, ἀλάσκω· βοῶ, βοάσκω· οὕτως βῶ, βάσκω.

βάσκιθι ὡς ἄπιθι τινὲς λέγουσι, οὐχὶ βάσκ᾽ ἴθι ἐν παραθέσει· ἀλλὰ κανὼν γὰρ ὁ λέγων, ὅτι τὰ εἰς μι λήγοντα μετὰ προθέσεως συντιθέμενα, προπαροξύνεσθαι φιλεῖ· οἷον σύνειμι· μέτειμι· ἔξειμι· ἄπειμι· ὁμοίως καὶ μετὰ τῶν λοιπῶν προθέσεων τὸ εἶμι συντιθέμενον προπαροξύνεται· τὸν αὐτὸν τρόπον ἢ ἄπιθι, ἔξιθι, πάρειθι· καὶ τὰ τοιαῦτα· μετὰ ἄλλων δὲ συντιθέμενα, οὐδαμῶς διὰ τοῦ ι· οὐδ᾽ εἶθι φαμὲν, ἀλλὰ δεῦρ᾽ ἴθι, ἢ μάλιστα καὶ τὸ ἴθι· οὕτως οὖν βάσκιθι· ἀλλὰ βάσκιθι· οὐ γὰρ μετὰ προθέσεως σύγκειται, τὸ δὲ ἴθι ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι· καὶ πάλιν ἕτερος κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς θι παραχθέντα προστακτικὰ, κατ᾽ ἀρχὴν οὐ συντίθεται· πλὴν τῶν προθέσεων· ὥστε δῆλον· ἐν παραθέσει δεῖ ἀναγινώσκειν αὐτό· τὸ δὲ βάσκε, ἀπὸ τοῦ βάσκω· τοῦτο δὲ παρὰ τὸ βῶ, βήσω πλεονασμῷ τοῦ κ βήσκω· τροπῇ τοῦ η εἰς α, βάσκω· ἢ ἐκ τοῦ βῶ, βάσω· ἐξ οὗ καὶ βάσις· πλεονασμῷ τοῦ κ βάσκω· ὡς φῶ, φάσω ἢ φάσκω· ἐπειδὴ οὐδέποτε βαρύτονος μέλλων

διὰ τοῦ κ ἐκφέρεται, μετάγεται εἰς ἐνεστῶτα.

βαλών. αἱ εἰς ων λήγουσαι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται. δραμών. ἐλθών. πιών. οὕτως οὖν καὶ καλών. ἀντίκειται τὸ πέφνων. αἱ γὰρ εἰς ων λήγουσαι μετοχαὶ, τό τε ἐν ἐπιπλοκῇ ἔχουσαι σύμφωνον, ἐὰν τὸ δεύτερον ᾖ ἀμετάβολον, πάντως βαρύνονται. κάμνων. τέμνων. τοιοῦτον καὶ τὸ πέφνων.

βαλανεῖον. τὰ ἀπὸ τῶν εἰς εὺς διὰ τοῦ ειον γινόμενα, διὰ τῆς ει διφθόγγου γράφεται. κουρεὺς, κουρεῖον. γραφεὺς, γραφεῖον, γραμματεὺς, γραμματεῖον. κναφεὺς, κναφεῖον, ἢ καὶ τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τῆς ει διφθόγγου γράφεται. μαγειρεῖον, πανδοχεῖον, ἰατρεῖον, ὀρφανοτροφεῖον. ἰαμβεῖον, βυρσοδεψεῖον. ἐπισκοπεῖον. οὕτω καὶ βαλανεῖον. πρόσκειται μονογενῆ, διὰ τὸ ἐναντίον. πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ αἰπόλιον καὶ λαφυροπώλιον. καὶ ἀρτοπώλιον ταῦτα γὰρ διὰ τοῦ ι. ὑπὲρ τρεῖς συλλαβάς, διὰ τὸ παιδίον οὐκ ἀναστρέφοντος τοῦ κανόνος. οὐδὲ πάντα τὰ τρισύλλαβα διὰ τοῦ ι γράφεται. ἰδοὺ γὰρ τὸ πτωχεῖον. καὶ τὸ πρωτεῖον, καὶ τὸ πορνεῖον. καὶ δευτερεῖον διὰ τῆς ει διφθόγγου φασίν. ἀπὸ γὰρ τῶν διὰ τοῦ ευ εἰσίν.

βασιλεύτατος ὁμοιοσχημόν ἐστι τῷ δεύτατος, περὶ οὗ ἀλλαχοῦ ῥηθήσεται.

βεβάασιν παρὰ τὸ βεβήκασιν ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ η εἰς α, βεβάασι.

βεβάασι, βέβαα, παρατατικὸς τῶν εἰς μι. οἱ ἴωνες ἡνίκα ἐν τοῖς ῥήμασι ὕφεσιν ποιήσωνται τοῦ συμφώνου, τότε συστολῇ παρακολουθοῦσιν. οἷον, ἕστηκα, ἕσταα. βέβηκα, βέβαα. βεβαώς, βεβαότος. καὶ πλεονασμῷ βεβαῶτα, καὶ ἐν βεβάασι.

βεβίηκε. τοῖον γάρ τ' ἄχος βεβίηκε. βιάζω, βιάσω, βεβίακα. τροπῇ τοῦ α εἰς η βεβίηκα. καὶ βεβίηκε.

βείομαι. ἄχρηστον λόγῳ πεζῷ. γίνεται ἀπὸ τοῦ βῶ, βείω, ὡς χρῶ, χρείω.

θῶ, θείω· ἢ καὶ ἄλλως ἀπὸ τοῦ θέω· πλεονασμῷ τοῦ ι· ὁμοίως τῷ σέω, σείω.

βέβακται· οὐχ ἁπλῶς ἀντὶ τοῦ εἴρηται, ἀλλὰ κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ πεφλυάρηται· ἀπὸ τοῦ βάζω, ἐξ οὗ καὶ ὁ παρὰ Λυκόφρονι βάβαξ.

βένθος, τὸ βάθος, παρὰ τὸ βάθος, βέθος· τροπῇ τοῦ α εἰς ε καὶ πλεονασμῷ τοῦ ν, βένθος· ὡς πάθω, πέθος, πένθος.

βέβαμεν εἰ μὲν προπαροξυτόνως ἀπὸ τοῦ βεβήκαμεν, ἔστι κατὰ συγκοπὴν, βέβαμεν· εἰ δὲ παροξυτόνως ἀπαρέμφατόν ἐστιν, ἀλλὰ μάλ᾽ ἀμφ᾽ αὐτῷ βέβαμεν, σχεδόθεν τε μάχεσθαι.

βεβολήατο· τῇ ψυχῇ τετρωμένοι ἦσαν· ἐλυποῦντο· παρὰ τὸ βάλλω γίνεται βλῶ· δύναται δὲ εἶναι ἀπὸ τοῦ βέλω τοῦ σημαίνοντος τὸ αὐτό· βλήσω· βέβληκα· βέβλημαι· ἐβεβλήμην· ἐβέβλητο· προσθέσει τοῦ ο ἐβεβόλητο· καὶ ἰωνικῶς, βεβολέατο· τροπῇ τοῦ ε εἰς η, βεβολήατο.

βέβουλα ἀπὸ τοῦ βούλω βαρυτόνου ἐνεστῶτος· περισπωμένου μέλλων βουλήσω· ὡς θελήσω· βεβούληκα· ὁ μέσος δεύτερος, βέβουλα· ὡς δέδουπα· ἔκτυπα.

βεβρώσεται χρήματα δ᾽ αὔτως κακῶς βεβρώσεται, ἀπὸ τοῦ βρῶ, βρώσω· βέβρωκα· βέβρωμαι· βέβρωσαι· ὁ μετὰ ὀλίγον μέλλων, βεβρώσομαι· βεβρώσεται.

βεβρώθοις· φάγοις· βρῶ, βρώσω, βέβρωκα· ἐκ τούτου δὲ ῥῆμα, βεβρώκω· τροπῇ τοῦ κ εἰς θ, βεβρώθω· ἡ μετοχὴ, ὁ βεβρώθων, τοῦ βεβρώθοντος· εὐκτικὸν, βεβρώθοιμι· βεβρώθοις.

βελτίω, βελτίονα· ἐκβολῇ τοῦ ν, βελτίοα· καὶ κατὰ κρᾶσιν, βελτίω.

βέλτερος, παρὰ τὸ βέλω· ὅθεν καὶ βολὴ, καὶ βέλος γίνεται· ῥηματικὸν ὄνομα, βελτός· καὶ τὸ συγκριτικὸν, βέλτερος. βέλτερος ἀπολέσθαι ἕνα χρόνον, ἠὲ βιῶναι· ὁ δεύτερος τύπος βελτίων, βέλτιστος.

βητάρμων, ὁ ὀρχηστής· παρὰ τὸ βαίνειν μετὰ ἁρμονίας βηάρμων· καὶ πλεονασμῷ τοῦ τ, βητάρμων, καὶ ἐνόπλιος ὄρχησις.

βῆ, βῆ δ' ἀκέων, παρὰ τὸ βῶ, βήσω· ὁ πρῶτος ἀόριστος, ἔβην· τὸ γ' ἔβη, καὶ κατὰ ἀφαίρεσιν ἰωνικὴν βῆ περισπωμένως· ἰστέον ὅτι μετὰ τὴν ἀφαίρεσιν τοῦ κλιτικοῦ μορίου, εἰ μακρὰ συλλαβὴ ὑπολείποιτο, περισπᾶται· οἷον, ἔφης, φῆς· ἔφη, φῆ· φῆς πατέρ λαῶν· ἔβην, βῆν· βῆν δ' εἰς Αἰόλου κλυτὰ δώματα· εἰ δὲ βραχεῖα, ὀξύνεται ἐξ ἀνάγκης· ἔβαν, βὰν· ἔσταν, στάν, βῆ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς.

βιβάθων παρὰ τὸ βιβάζω, βιβαστὸς· ὥσπερ ἁρμόζω, ἁρμοστός· ὁρμαστὸς κατὰ μετάθεσιν τῶν φωνηέντων· ἐκ δὲ τοῦ ὁρμαστός, ὁρμαθὸς κατὰ ἀποβολὴν τοῦ σ, καὶ τροπῇ τοῦ τ εἰς θ· οὕτω βιβαστὸς· καὶ τροπῇ βίβαθος· καὶ ἐξ αὐτοῦ ῥῆμα, βιβάθω· ἐβίβαθον· τὸ γ' τρίτον δυϊκῶν βιβάθων· ὡς τυπτέτων.

βιβῶντα· βιβάοντα, βιβῶντα· ἀπὸ τοῦ βιβάω· βιβῶ· ἐξ οὗ καὶ βίβημι· ἀφ' οὗ παρατατικὸς, ἐβίβην· βιβὰς βιβάντα· ὡς ἱστάντα.

βίηφι, βίη ἰωνικῶς· ἡ βία· οἷον, βίῃ ἡρακληείῃ· βίης· βίῃ· καὶ πλεονασμῷ τῆς φι, βίηφι.

βιῴατο· ὡς βοώατο· βιάω βιῶ· βιάομαι, βιῶμαι· βιαοίμην, βιῴμην· βιάοιο, βιῷο· βιάοιτο, βιῷτο· πλεονασμῷ τοῦ α, βιώατο.

βιώτω· ζησάτω· βίωμι· ἐβίων· βιούς, βιόντος· τὸ προστακτικὸν, βίωθι, βιώτω· ὡς γνώτω· βιόω, βιῶ· ἢ βίωμι· ὁ μέλλων, βιώσω· ἐβίωσα· ἐβίωσας· ἐβίωσε· τὸ προστακτικὸν, βίωσον, βιωσάτω· κατὰ συγκοπὴν τῆς σα, βιώτω.

βιῴην ἔχει τὸ ι προσγεγραμμένον· βίωμι· ἐβίων· βιούς, βιόντος· βιοίην, κατ' ἔκτασιν ἀττικὴν τοῦ ο εἰς ω· βιῴην· ὥσπερ τὸ δούς, δόντος· δοίην, δῴην.

βιῶναι· βίωμι· ἐβίων· τὸ πρῶτον τῶν πληθυντικῶν, ἐβίωμεν· τὸ ἀπαρέμφατον, βιῶναι.

βιῶν· βιέω, βιῶ· ἡ μετοχὴ ὁ βιέων, ὁ βιῶν· τοῦ βιέοντος τοῦ βιοῦντος.

τὸ εὐκτικὸν βιέοιμι, βιοῖμι, βιέοις, βιοῖς· βιέοι, βιοῖ· πλεονασμῷ τοῦ η· ἢ ἐκτάσει τοῦ ο εἰς ω, βιῴη.

βλασὸς παρὰ τὸ βλώσκειν, ὃ σημαίνει τὸ αὔξειν.

βλάπτω, ὅτι βρῶ τὸ δηλοῦν τὸ ἐσθίω· τοῦτο γίνεται κλῶ κατὰ τροπὴν τοῦ ρ εἰς τὸ λ· καὶ κατὰ παραγωγὴν βλάπτω· ἀπὸ μεταφορᾶς τῶν ἐσθιομένων, καὶ μηκέτι ὑγιῶν ὄντων.

βλεῖς οἱ μὲν ἀπὸ τοῦ κληθεὶς κατὰ συγκοπὴν τοῦ η καὶ θ, οἱ δὲ ἀπὸ τοῦ βλῆμι ὁ δεύτερος ἀόριστος, ἔβλην· ἡ μετοχὴ ὁ κλείς.

βλήμενος· ὥσπερ τὸ οὐτάμενος ἀναδρομὴν ἔπαθε γὰρ, οὕτω καὶ τὸ κλήμενος, ἐκ τοῦ βεκλημένος κατὰ ἀφαίρεσιν.

βλῆσθαι· κεκλῆσθαι, καὶ ἀφαιρέσει, κλῆσθαι.

βλῆτο· ἀπὸ τοῦ κλῶ, κλήσω· κέκληκα· ἐκεκλήμην· ἐκέκλησο· ἐκέκλητο· καὶ κατὰ συγκοπὴν, ἔβλητο· οἷον ἔβλητο πρὸς στῆθος, καὶ ἀφαιρέσει τοῦ ε, κλῆτο.

βλώσκω σημαίνει τὸ αὐξάνω· παρὰ τὸ μολῶ γίνεται παράγωγον μολίσκω· ὡς γαμῶ, γαμίσκω· τελῶ, τελίσκω· καὶ τροπῇ τοῦ μ εἰς β, βολίσκω· καὶ ἐν ὑπερθέσει, βλοίσκω· καὶ κατὰ συγκοπὴν τοῦ ι, καὶ ἐκτάσει τοῦ ο εἰς ω, βλώσκω· ἰστέον δὲ ὅτι τὰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων παραγόμενα εἰς σκω ῥήματα, διὰ τοῦ ι σκω γίνεται· οἷον, τελῶ, τελίσκω· στερῶ, στερίσκω· γαμῶ, γαμίσκω· ὡσαύτως δὲ τὰ ἀπὸ τῆς ἐκ τῆς τῶν βαρυτόνων· κύω· κυΐσκω· ξύω, ξυΐσκω· καὶ τὰ ἀπὸ τῆς τρίτης τῶν περισπωμένων· ἀναλῶ, ἀναλίσκω· τὰ δὲ ἀπὸ τῆς δευτέρας διὰ τοῦ ασκω οἷον, ἐῶ, ἐάσκω.

βουκινῆσαι· τὰς βοῦς ἐξελάσαι.

βοῦς παρὰ τὸ βῶ τὸ τρέφω· ὁ τρέφων ἡμᾶς ἐκ τῆς περὶ τὴν γῆν ἐργασίας· οὐ δυνάμεθα δὲ λέγειν ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν τοὺς βόας· καὶ κατὰ κρᾶσιν βοῦς· τὸ ο καὶ α οὐ κιρνᾶται εἰς τὴν ου· ἀλλ᾽ εἰς τὴν ω· κρείττονα, κρείττω· ἀλλὰ λέγομεν ὅτι ὁμοφωνία γέγονε τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν· πᾶσα γὰρ εὐθεῖα εἰς

σ λήγουσα καὶ συνηρημένη κατὰ τὴν τελευταίαν συλλαβὴν ἔχει τὴν αἰτιατικὴν καὶ κλητικὴν ὁμόφωνον αὐτῇ.

Βοηδρομεῖν τὸ μετὰ σπουδῆς παραγίνεσθαι. κάρες δὲ ἀντὶ τοῦ βοηθεῖν, τουτέστιν ἐπὶ μάχην δραμεῖν. ἔστι δὲ καὶ ἑορτή τις ἀθήνησι βοηδρομία καλουμένη· καθ' ἣν ἡμέραν ἐβοήθησεν ὁ ξάνθης σπουδῇ, πολλῇ πολεμουμένοις ἀθηναίοις ὑπὸ εὐμόλπου τοῦ ποσειδῶνος. ἐρεχθεὺς δὲ τότε ἀθηναίων ἐβασίλευσεν.

βοράζειν τρέφειν· ὥσπερ παρὰ τὸ ἀγορὰ, ἀγοράζω· οὕτω βορὰ, βοράζω.

βόρβορος· παρὰ τὸ βάρος βάρβαρος καὶ τροπῇ τοῦ α εἰς ο, γίνεται βόρβορος· βόρβορος γὰρ λέγεται τὸ περίττωμα τῆς γαστρός· τοῦτο γάρ ἐστιν ἐν τῷ ἀνθρώπῳ κείμενον βάρος ἐμποιεῖ. ἢ παρὰ τὸ βορὰ ὃ σημαίνει τὴν τροφὴν, βορὰ καὶ βόρβορος ἡ ἐκ τῆς τροφῆς ὕλη.

βόσκω, παρὰ τὸ βῶ τὸ τρέφω· ὁ μέλλων, βώσω· καὶ πλεονασμῷ τοῦ κ, βόσκω· ὡς τιτρώσω, τιτρώσκω· βιώσω, βιώσκω· θνήσω, θνήσκω· ἐξ οὗ καὶ βόσις ἡ τροφή.

βοῷεν, βοάοιμι βοῷμι τὸ εὐκτικόν· τὸ γὰρ τῶν πληθυντικῶν τρίτον, βοάοιεν, βοῷεν.

βροτὸς· δηλοῦσιν οἱ παλαιοὶ φάμενοι ὅτι προστιθέασιν οἱ αἰολεῖς τὸ β τῷ ρ, ἡνίκα ἡ ἐφεξῆς συλλαβὴ ἔχοι τὸ κ· οἷον ῥάκος, βράκος· ἢ τὸ δ· οἷον, ῥόδον, βρόδον, ἢ τὸ ζ· οἷον, ῥίζα, βρίζα· ἢ τὸ τ, οἷον, ῥυτὴρ, βρυτὴρ, ὁ χαλινός· οὕτως οὖν καὶ ῥοτὸς, βροτὸς· ὁ ῥυστὸς ἄνθρωπος· ἔχοι δ' ἂν ἴσως ὅμοιον πλεονασμὸν τοῦ β καὶ ὁ αἱματηρὸς βροτὸς ὅ ἐστι μολυσμός.

βραδὺς παρὰ τὸ βάρος, βαρὺς· καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ δ, βραδύς.

βράσσω τὸ ζέω· ὅπερ ἀναβράσσω λέγουσιν ἀττικοί.

βράσσων ὁ βραδὺς καὶ ὁ βραχύς· καὶ ἑκάτερα σημαίνει· καὶ γὰρ ἀπὸ τοῦ βραδὺς γίνεται βραδύτερος καὶ βραδίων καὶ βράσσων· καὶ ἐκ τοῦ βραχὺς, βραχύτερος· βραχίων· καὶ βράσσων· ὅθεν ὁ ποιητὴς εἰδὼς ἀμφοτέρων σημαντικὴν λέξιν ἐπιφέρει διὰ σαφῶν, καὶ

λύων τὸ ἀμφίβολον βράσων τινός.

Βρέχειν ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων ὠνοματοπεποίηται ἡ λέξις. ὅθεν καὶ Ὅμηρος, ἀμφὶ δὲ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ. ἢ παρὰ τὸ βάλλω, ἢ βέλω κλῶ καὶ κρῶ καὶ βρέχω.

Βρέμει· ἠχεῖ κυρίως παρὰ τὸ κρόμον τὸν τοῦ πυρὸς ἦχον. βρόμος γὰρ κυρίως ὁ τοῦ πυρός ἦχος. ἐγὼ οὖν νομίζω τὸν βρόμον παρὰ τὸ βρέμω εἶναι.

Βρενθύεται· μεγαλοφωνεῖ. ἐπαίρεται. ἢ προσποιεῖται. ὀργίζεσθαι. ἢ οἱονεὶ θρύπτεται.

Βρένθυον δέ ἐστι μύρον. τοὺς οὖν ἀλαζόνας καὶ ξυφηροὺς μύρῳ χρίεσθαι ἀκόλουθον. ἀπὸ τούτου δηλαδὴ τοὺς θρυπτομένους, βρενθυομένους λέγουσι.

Βρίζω τὸ κοιμῶμαι, ἔνθεν καὶ κρίζονται ὕδης. εἴρηται δὲ βρίξαι τὸ μετὰ φορὰν καὶ τροφὴν καθευδῆσαι.

Βριμαίνω παρὰ τὸ βρίω τὸ ὑπὸ ὀργῆς καρίνομαι. γίνεται. λέγεται καὶ βριμῶ. ὅθεν καὶ κριμοῦσθαι. καὶ βριμοῦνται. καὶ βριμῆσαι. καὶ ἐμβρίμησις καὶ ἐμβριμοῦ. ἐμοὶ δοκεῖ παρὰ τοῦτο τὸ βριμῶ παρῆχθαι τὸ βριμαίνω.

Βρύκω τὸ ἐσθίω παρὰ τὸ βορὰν βορύκω καὶ βρύκω.

Βυσσοδομεύων ἐν αὐτῷ ἐν βάθει διαλογιζόμενος. ἢ κεκρυμμένα κυλινδόμενος. ἢ ἐνθυμούμενος, οἱονεὶ ἐν βυθῷ τινι οἰκοδομῶν, καὶ βυσσοδομεύων, παρὰ τὸ βύσσον καὶ τὸ δέμω καὶ οἰκοδομῶ. τὸ βύσσοθεν. ὅ ἐστιν ἐν κάθει κατασκευάζειν ὥστε μὴ πρότερον ἐπιγνωσθῆναι πρὶν ὑπερέχειν ἄνω.

Βώσεσθε πῶς τῆμος κώσεσθαι δυσάμμοροι, σημαίνει δὲ τὸ βιώσεσθαι.

Βωσόμεθα κοησόμεθα κράσει τοῦ ο καὶ η εἰς ω. σημαίνει δὲ τὸ ἐπικαλεσόμεθα.

Βωστρεῖν. καλεῖν. βοᾶν. παρὰ τὸ βοῶ, βοάζω. κοαστής. εἶτα ῥῆμα, κοαστρῶ καὶ κράσει, κωστρῶ. ὡς ἀπὸ τοῦ καλῶ, καλίζω. καλιστής.